# GAISFORD PRIZE.

THE

# PLAGUE OF LONDON,

BY

JAMES BRYCE,
SCHOLAR OF TRINITY COLLEGE.

OXFORD:
T. AND G. SHRIMPTON.
1860.

Digitized by Google

BRITISH MUSEUM

Digitized by Google

# THE PLAGUE OF LONDON.

*ἘΝ δὲ τῷδε τῷ ἔτει, πέμπτῳ ὄντι μετὰ τὴν τοῦ βασιλέως κάθοδον, τὸν λοιμὸν ξυνέβη ἐν τῷ Λονδινίῳ γενέσθαι τὸν μέγαν καλούμενον, δεινὸν ὄντα καὶ οὐδενὸς ἧσσω τῶν προγεγενημένων· πολυανθρωποτέρας γὰρ οὔσης τῆς πόλεως, μείζων καὶ ἡ φθορὰ εἰκότως ἐγένετο· καὶ ἐν Ἰταλίᾳ μὲν πρῶτον καὶ τοῖς περὶ Κύπρον καὶ Ἰωνίαν τόποις, ὡς ἔλεγόν τινες, ἤρξατο ἡ νόσος, ἔπειτα δὲ ἐς τὴν τῶν Βατάβων χώραν διαβᾶσα τὰ ταύτῃ ἐπενείματο, ἐκεῖθεν δὲ ἐν ὁλκάδος φορτίοις ἐς τὸ Λονδίνιον περὶ Πλειάδων ἐπιτολὰς ἀφίκετο· ἀπέθανόν τε ὑπ' αὐτῆς ἐν μιᾷ οἰκίᾳ ἄνδρες δύο, ὅπερ καὶ ἰσχυρῶς τὸ πλῆθος ἐφόβησε, τοὺς μὲν πρεσβυτέρους τῆς ἔτεσι πρότερον τριάκοντα νόσου γεγονυίας μεμνημένους, τοὺς δὲ νεωτέρους ἀκοῇ εἰδότας· ἐπεὶ δὲ χειμῶνος οὐ πολλοὶ ἔθνησκον, ἄλλος δὲ ἄλλῃ σποράδην τῆς πόλεως, ἀνεθάρσουν τε καὶ τοῦ κινδύνου ἀπαλλαγῆναι ἐνόμιζον, ἐς ὃ τοῦ ἦρος ἀρχομένου πλείους ἤδη ἐνόσουν, φανερῶς τοῦ κακοῦ ἅμα τοῖς καύμασι χωρίοις πολλοῖς ἐγκατασκήψαντος· οὐ μὴν ἀλλὰ τοῖς πρὸς ἑσπέραν μᾶλλον τῆς πόλεως ἐνέπεσεν, ἔς τε τὸ Ἄστυ καλούμενον οὔ πω εἰσῆλθεν, ὅ τι καὶ λόγου ἄξιον· τότε δὲ ἐς τὸ μεῖζον ἀεὶ προχωρούσης τῆς νόσου, θνησκόντων τε διακοσίων μάλιστα ἑκάστης ἡμέρας, τῶν δυνατῶν οἱ πλείους καὶ πλουσίων ἐς φυγὴν καθίσταντο, οἱ μὲν ἀμφὶ βασιλέα ἐς πόλιν Ὀξωνίαν ἀπέχουσαν σταδίους μάλιστα τετρακοσίους καὶ ὀγδοήκοντα, ἄλλοι δὲ ὡς ἕκαστος οἴκημα καὶ ἀγροὺς ἄλλοθί που ἔχων ἔτυχεν· τούτου δὲ γενομένου ὡρμῶντο πολὺ μᾶλλον ἤδη τὸ πλῆθος*



Digitized by Google

τὸ αὐτὸ δρᾶν, ὥστε μῆνας δύο τὰς ὁδοὺς πάσας ἁμαξῶν τε καὶ ἵππων πληρεῖς γενέσθαι, ἔφευγον γὰρ ἄνδρες μετὰ παίδων καὶ γυναικῶν, κατασκευάς τε ἅμα ἄγοντες, ἀπό τε τῆς πόλεως διὰ τὴν χώραν ἐπορεύοντο, οἱ μὲν παρὰ φίλους, οἱ δὲ ὡς ἕκαστός που οἴκησιν εὑρήσειν ἐδόκει. ὅμως δὲ τοσῶνδε ἀπελθόντων, ὅμιλος πολὺς κατελείφθη, τῶν τε πενήτων ἄλλοι τε καὶ μάλιστα ὅσοι χειροτέχναι ἦσαν καὶ κάπηλοι· οἷς τε αὖ χρημάτων ἦν περιουσία ὥστε μὴ τούτῳ γε κωλύεσθαι, πολλοῖς ξυνέβη τὴν νόσον ἄλλοτε μὲν ἐν παύλῃ φαίνεσθαι, ἄλλοτε δὲ μειζόνως ἐπιέναι, ὁρῶντας, πρὸς τὸ ἐνδοίαζον τραπομένους ἀναβολὴν τοῦ ἀπελθεῖν ποιεῖσθαι· μέλλοντες δὲ ἤδη ἀπιέναι τίνες ὅμως ἔμενον, θεραπείας ἕνεκα τῶν ξυγγενῶν, ἢ ὑπὸ τῶν ἐν τέλει κατειλημμένοι, ἐν ᾗ γὰρ οἰκίᾳ νοσοίη τις, ἀπηγόρευον μηδένα ἐξιέναι, ἐλπίζοντες ἀπ᾿ ἀλλήλων οὕτως ἂν ἧσσον ἀναπίμπλασθαι· ἀλλ᾿ οὔτε τοῦτ᾿ οὐδὲν ἤρκεσεν, οὐθ᾿ ὅσα περὶ τὴν τῶν ὁδῶν τε καὶ οἰκοδομημάτων κάθαρσιν, καὶ ἄλλα τοιαῦτα προεῖπον, πύρα τε καίοντες φωνάς τε ἀπὸ κωδώνων μεγάλας ἐξιέντες· ὥστε ἐλπίδων ἐπιλιπουσῶν τῇ τε διανοίᾳ ἡσσώμενοι ἑτοιμότερα ἤδη τὰ σώματα τῇ νόσῳ παρεῖχον· ἐπιδιδούσης δὲ τῆς φθορᾶς ἔθνησκον τῆς ὀπώρας χίλιοι μάλιστα καὶ πεντακόσιοι ἡμέρας ἑκάστης· διὰ δὲ παντὸς τοῦ ἄστεος διεξῄει, καὶ ἐν παντὶ τόπῳ ὁμοίως τοὺς πολίτας ἐπελάμβανε.

Περὶ μὲν οὖν τῶν αἰτιῶν τῆς νόσου πολλὰ ὑπό τε ἰατρῶν καὶ ἰδιωτῶν ἐλέγετο, τὰ μὲν παντελῶς ἄτοπα, οἷον περὶ τοῦ κατ᾿ ἐκεῖνον τὸν χρόνον φανέντος ἀστέρος, ἀτμίδων τέ τινων καὶ πνοῶν ἀπ᾿ αὐτοῦ γενομένων, τὰ δὲ καὶ λόγον μὲν μᾶλλον ἔχοντα, δυσεξερεύνητα δὲ ὡς ἐπὶ τὸ πολύ, οἱ μὲν τὸν χειμῶνα αἰτιώμενοι, παρὰ φύσιν ψυχρὸν γενόμενον, οἱ δὲ αὔραν δή τινα ἢ ἀέρα λεπτὸν ἐπονομάζοντες, οἱ δὲ πνευματικόν τι ἐν τῷ αἵματι

Digitized by Google

καλούμενον, τῷ ἑτοίμῳ τοῦ ἐννοῆσαι μᾶλλον ἢ τῷ βεβαίῳ τοῦ ἐξετάσαι πίστιν παρέχοντες· τῶν δὲ ἔργων τὴν ἀκρίβειαν ὅστις σκέψεται, οὐδὲν εὑρήσει ἐν τῷ πρὶν χρόνῳ παρὰ τὸ εἰωθὸς γεγενημένον, ὅπερ καὶ θαυμάσαι ἄξιον, ἄνευ φανερῶν σημείων τοσαύτην μεταβολὴν ἀναφανῆναι· ἐγὼ δὲ τὰ ἐν ἀδήλῳ ἄριστ' ἄν τινα ἀναζητῆσαι ἡγούμενος εἰ τῶν γενομένων τὴν ἀλήθειαν μάθοι, ἃ καὶ ἦν, ταῦτα λέξω.

Τὸ μὲν οὖν νόσημα τά τε ἄλλα καὶ δὴ καὶ τόδε οὐχ ἥκιστα οὐδὲν τῶν εἰωθότων ἐδήλωσεν ὄν, πάντων γὰρ ὁμοίως ἀπ' οὐδεμιᾶς προφάσεως ἥπτετο, τῶν μὲν ἤδη ἐν ἄλλαις ἀσθενείαις ὄντων, τῶν δὲ καὶ πάνυ ὑγιαίνειν δοκούντων· οὐ μὴν ἀλλ' οἱ ἀκόλαστοι κατὰ τὸ εἰκὸς μᾶλλον ἠσθένουν, τά τε παιδία ῥᾷον ἐνόσησε τῶν νέων, οἱ δὲ αὖ τῶν πρεσβυτέρων, γυναῖκές τε ἐπὶ πᾶν τῶν ἀνδρῶν. ἄλλῳ δὲ ἄλλως προσέπιπτεν, ὡς ἕκαστος ἡλικίας τε ἔτυχεν καὶ ὑγιείας ἔχων, τῆς τε καθ' ἡμέραν διαίτης καὶ ἐπιτηδευμάτων· καὶ τὸ μὲν πάνυ ἀκριβές, εἴ τις καὶ τοῦτο πυθέσθαι θέλοι, οὐκ ἐπιστάμενος ἐάσω, ὅσα δὲ ἐμφανέστατά τε ἦν καὶ ἐπὶ τὸ πλεῖστον ἐκράτει, ταῦτα δηλώσω. τοὺς γὰρ πολλοὺς πρῶτον μὲν φρίκη τε καὶ ῥῖγος μετὰ κόπου ἐλάμβανε, τῆς τε κεφαλῆς ἴλιγγος καὶ πόνος, ἄση τε ἔμεσιν ἐνδιδοῦσα· ταῦτα μὲν οὖν κοινά πως τοῖς πᾶσι σημεῖα ἦν, ὕστερον δὲ οἱ μὲν σφόδρα ἐπύρεσσον, οἱ δὲ ἧσσον· τοῖς δὲ πυρέσσουσι θέρμαι μέγαλαι καὶ φλογώσεις παντὸς τοῦ σώματος ἐπεγίνοντο, μάλιστα δὲ τῶν περὶ τὰς φρένας, τοῦ μὲν ἔξωθεν χρωτὸς οὐχ οὕτω καιομένου, τῶν δὲ ἐντὸς καὶ πάνυ. παλμός τε ἅμα τῆς καρδίας ἰσχυρὸς ἦν, τῶν τε ὀφθαλμῶν ἔκθλιψις καὶ μαρμαρυγή· ἱδρῶτές τε ἄκαιροι ἐπῄεσαν, ψυχροί, ἀπό τε τῶν ῥινῶν αἱμόρροιαι· τούτων δὲ τοῖς μὲν ἐξ ἴσου ἀεὶ τὸ φλέγμαινον ὡμίλει, τοῖς δὲ ἡμέρας μὲν λῆγον, νυκτὸς δὲ ὀξύτερον ἔπιον· πάντας δὲ ὁμοίως δίψα

Digitized by Google

τε ἄπαυστος ἐπίεζε καὶ ἀγρυπνία, ἀπόρου ὄντος τοῖς ὑπνικωτάτοις τῶν φαρμάκων χρησάμενον καὶ βραχύ τι τῆς ὀδύνης λωφῆσαι· τοῖς δὲ ἧσσον πυρέσσουσι πόνος τῆς κεφαλῆς εὐθὺς κάμνουσιν ἐπέπιπτε, σκοροδιασμὸν παρέχων ἰσχυρὸν, ἔπειτα δὲ ὡς τοῦ ἐγκεφάλου νικηθέντος τύφως ἐγένετο καὶ κῶμα βαρὺ, φρενῖτίς τε ἐνίοτε καὶ παραφροσύνη· ὠχρὸν μέντοι τὸ πρόσωπον ἦν καὶ διάστροφον, οἵ τε ὀφθαλμοὶ κοῖλοι καὶ ὡς εἰπεῖν θολεροί· τῶν δὲ κώλων ἀκρατεῖς γενόμενοι οὐκ ἔτι χεῖρας κινεῖν ἠδύναντο, τῇ τε γλώσσῃ ἀμυδρῶς ἐφθέγγοντο, ἐν ἀσθενείᾳ τε πολλῇ ὄντες ἄφωνοι ἔκειντο καὶ ἀπόσιτοι· ὅπερ δὲ καὶ μεγίστην ταλαιπωρίαν παρεῖχε, τοῖς μᾶλλόν τε καὶ ἧσσον ὑπὸ τοῦ καύματος πιεζομένοις ἔξωθεν τὸ σῶμα ἕλκεσι πολλοῖς καὶ φλυκταίναις ἐξήνθει, ὧν πολλὰ μὲν ὑπ' ἰατρῶν ὠνομάσθη γένη, τοῖς μὲν ἅπαντα ὁμοῦ φαινόμενα, τοῖς δὲ τὰ μὲν, τὰ δ' οὔ· ἐν οἷς αἵ τε ὀλοφλυκτίδες ἦσαν καλούμεναι, ἰχῶρα ἀνίεισαι ὑπόχλωρόν τε καὶ δυσωδῆ· ἦν τε τῶν ἀδένων ἑλκώματα, ἐν τῷ βουβῶνι μάλιστα παρά τε τοῖς ὠσὶ καὶ ἐν ταῖς μασχάλαις ἐπανοιδήσαντα, ἰχῶρα καὶ ταῦτα τέως μὲν ῥέοντα, ἔπειτα δὲ ἐσχάραν τίνα ἐπ' ἄκρᾳ τῇ σαρκὶ σκληρὰν φαίνοντα· ἦσαν δὲ καὶ οἱ ἄνθρακες, μέλανες ὄντες καὶ ἔστιν ὅτε ὑπέρυθροι, οἳ λύπην οὐχ ἥκιστα παρεῖχον· τὸ δὲ πάντων φοβερώτατον φλυκταινίδια ἦν κατὰ στῆθος ἢ πλευρὰν ὡς ἐπὶ τὸ πολὺ πυκνῶς ἐστιγμένα, κεγχριαῖα ὄντα τὸ μέγεθος· ταῦτα γοῦν ὁπότε τις αἴσθοιτο, ἄλλως τε καὶ πελιδνότερα ἤδη φαινόμενα, θανάτου σημεῖον ἡγεῖτο, σφακελίσαντος γὰρ τοῦ χωρίου ἐν βραχεῖ ἀπέθνησκεν· ἐξ οὗ τὰ τεκμήρια ὠνομάσθη· ἔστι δὲ οἷς ἐκ τῶν πάντων τοῦτο μόνον φανερὸν σημεῖον ἐγένετο, ὑγιείας δὲ καὶ πάνυ μεταποιούμενοι ταῦτα ἰδόντες εὐθὺς ἄνευ πόνου μεγάλου ἀπώλοντο· τὸ δὲ πλῆθος ὑπὸ τοῦ καύματός τε καὶ ἑλκώσεως τριταῖοι ἢ τεταρταῖοι, εἰσὶ δὲ οἳ καὶ

Digitized by Google

πεμπταῖοι ἐφθάρησαν· εἰ δέ τις ἔτι ἐπεβίω, δι' ἐλπίδων ἦλθε μὴ ἂν ἔτι περαιτέρω νοσῆσαι· οὐ μὴν ἀλλὰ παρεληλυθυίας τῆς ἀκμῆς ὕστερον τὰ ἐμπυήματα ἔμενε χρόνον συχνὸν, τελευτῶντα τε ἔστιν οὓς ἀσθενείᾳ διέφθειρεν· ὅσοι δὲ ἐκ τῆς ἀρχῆς τοῖς ἑλκώμασιν ἐταλαιπώρουν, ἀμείνω ὅμως τὴν γνώμην εἶχον, ταῦτα γὰρ οἱ ἰατροὶ τέμνοντες ἢ μετὰ μαλαγμάτων εἰ τὸ πύον ἀφέλκειν ἠδύναντο, διέφευγον ὡς ἐπὶ τὸ πλεῖστον, κάμνοντες δὲ ὅσοι οὐκ ᾔσθοντο πρὶν φανῆναι τὰ τεκμήρια, τούτοις γνωρισθεῖσαν τὴν νόσον οὐκ ἔτι ἦν φυλάξασθαι· ἐς τόδε γὰρ προχωρήσασα φαρμάκοις οὐδὲν ὑπεικεν. ἐπὶ δὲ τὸ πᾶν οὐ πολλὴ ἐφαίνετο ἡ ἀπὸ τῶν ἰαμάτων ὠφέλεια, οὔτε γὰρ ἀγνοίᾳ θεραπευόντες φαρμάκοις εἶχον ὡς βεβαίῳ τινὶ χρήσασθαι, βίαιά τε ἐμπίπτουσα ἡ νόσος καὶ ταχέως ἀκμάζουσα τῆς θεραπείας μέλλησιν ἔφθανεν. οἷς δὲ ἐπιμελὲς ἦν τὸ κακὸν φυλάσσεσθαι, προυθυμοῦντο ὅπως καθαροὶ ὡς μάλιστα ἔσονται, αὐτοί τε καὶ αἱ οἰκίαι, φύλλα μὲν εὐωδῆ καὶ ὄξος περιῤῥαίνοντες, ὅσα τε πολυοσμότατα ἔχουσι καίοντες· μικρὰ γὰρ ὄντα τὰ τῶν πενήτων οἰκήματα, πνιγηρὰ ἐπὶ πολὺ καὶ δυσωδῆ ἦν, ἅτε ἐν στεναῖς ὁδοῖς καὶ ῥύπων παντοίων μεσταῖς διαιτωμένων, διὸ καὶ αὐτόθι πολὺ πλείστη ἡ φθορὰ ἐγένετο. οἱ δὲ ἰατροὶ τῷ ὄχλῳ πολλά τε ἄλλα προηγόρευον καὶ μάλιστα τὸ σῶμα σιτίοις ὅτι μάλιστα τρέφοντας ἀκολασίας ἀπέχεσθαι μηδὲ ἐς ξυλλόγους φοιτᾶν, ἵνα μὴ προσελθών τις ἀφ' ἑτέρου τὴν νόσον δέχηται· ἐπεὶ δέ τις κάμνων ἤδη ξυνῄδη, κατακείμενον ἐκέλευον ἐν τάχει ἱδρωτοποιεῖν τε, εἰ δύναιτο, καὶ μαλάγματα προστίθεσθαι, ἰατρὸν δὲ μεταπεμψάμενον τὰ ἕλκη αὐτὸν μηδαμῶς τέμνειν.

Τὴν δὲ φθορὰν τοσαυτὴν γενέσθαι ξυνεβάλετο ἡ τῶν ἰατρῶν ἔνδεια, πολλῶν μὲν γὰρ ἀποδράντων διὰ τὸ περὶ σφίσιν αὐτοῖς ὀῤῥωδεῖν, πολλῶν δὲ καὶ ἐκ τοῦ παρὰ τοὺς κάμνοντας ἐσιέναι

Digitized by Google

ἀποθανόντων, σπάνιοι οἱ λειφθέντες ὡς πρὸς πλῆθος τοσοῦτον ἐγένοντο· ὃ δὲ καὶ μεῖζον ἦν κακὸν, ἀμαθίᾳ τε καὶ ἀνοίᾳ ἄλλοι πολλοὶ ἰάτρευον, τομῆς γὰρ καὶ καύσεως ἄπειροι ὄντες, ὁπότε δεῖ προσφέροντας ὠφελεῖν, τοὺς μὲν καιροὺς οὐκ ἐφύλασσον, ἐς δὲ τὰ κοινότερα καταφυγόντες ἠμετήριζόν τε καὶ φλεβοτομοῦντες καὶ καθαίροντες τῶν νοσούντων τὴν ἰσχὺν ὑφῄρουν· ἔτι δὲ μᾶλλον ἔβλαπτεν ὄχλος πολὺς ἀγυρτῶν καὶ γοήτων, ἴδιόν τι ἐκ τοῦ κοινοῦ κακοῦ κερδαίνειν βουλόμενοι· ἕκαστος γὰρ τὸ αὑτοῦ φάρμακον κομποῦντες ὡς μόνον δὴ καὶ βεβαίως τῆς νόσου ἀλεξητήριον, τὸ πλῆθος ἐξηπάτων, πολλὰ μὲν ἀνωφελῆ πωλοῦντες, πολλὰ δὲ καὶ πάνυ βλαβερά. ἅμα δὲ τοῖσδε, ἀρχομένου τοῦ νοσήματος καὶ πανταχοῦ θρυλουμένου, μάντεις πολλοὶ ἀνεφάνησαν, ὧν οἱ μὲν τὰ μέλλοντα προσεποιοῦντο ὡς προδηλώσοντες, καὶ μάλιστα εἴ τις νοσήσει, οἱ δὲ φίλτρα τε καὶ περίαπτα χρημάτων ἀπεδίδοντο, φάσκοντες ὡς ταῦτά γέ τινι ἔχοντι ἐπιγενήσεται οὐδὲν χαλεπώτερον· ὁ δὲ ὄχλος θαυμαστῶς ὡς ῥᾳδίως ὑπὸ τοιούτων ἀνεπείθετο, περὶ δὲ τὰς θύρας τούτων πολὺ μᾶλλον ἢ τῶν ἐν ἀξιώματι μεγίστῳ ἰατρῶν ὄντων ὠνούμενοι ἠθροίζοντο, ὑπὸ γὰρ τῆς παρούσης ξυμφορᾶς ἐκπεπληγμένοι, ἰατρούς τε τοὺς δοκιμωτάτους οὐδὲ αὐτοὺς ἀρκοῦντας ἰδόντες, ὡς ἐνδεεστέρας τέχνης ἀνθρωπείας γενομένης ἐς τὰ ἀφανῆ μᾶλλον καὶ δαιμόνια κατέφευγον, ἅτε τε πάθει ἀνηκούστῳ περιπεσόντες τοῖς εἰωθόσιν οὐδὲν ἠξίουν ἰάμασι χρῆσθαι· ἐπικρατούσης δὲ τῆς νόσου μάταια καὶ ταῦτα ἐξηλέγχθη, τῶν τε μαντέων οἱ πλείους αὐτοὶ ἀπώλοντο, ὥστε καὶ ταύτης καὶ τῆς ἄλλης ὠφελείας ἀπέκαμον· τὸ γὰρ κρεῖσσον λόγου δέος γενόμενον ἔν τε τούτῳ βλαβερὸν καθειστήκει, ἐπί τε τὸ πᾶν μάλιστα ἐλυμαίνετο· πολλάκις γὰρ τοὺς ὑγιεῖς κατάπλησσον τὴν νόσον ὅσον οὐκ ἐνεποίει, τοὺς δὲ κάμνοντας ἤδη ἐς τὸ ἄθυμον ἔτρε-

Digitized by Google

πεν, ὥστε τῇ γνώμῃ μήκετι ἀντέχειν, τῶν τε ὑπ' ἰατροῦ προσταχθέντων ἀμελεῖν· ἐφόβει δὲ οὐκ ἐκεῖνο μόνον τοῦ πάροντος δεινοῦ, τὸ πολλοὺς ὁρᾶν ἀπολλυμένους, ἔτι δὲ μᾶλλον τὸ τοῦ νοσήματος αἰφνίδιον, ἀπροσδοκήτως γὰρ ἐπιπεσὸν ἐν βραχεῖ ἔκτεινε· καὶ ὅπερ φιλεῖ ἐν τῷ τοιούτῳ γίγνεσθαι, λόγους παντοίους αἱ γυναῖκες μάλιστα θρυλοῦσαι τὴν ἔκπληξιν ἐπὶ μεῖζον ἔφερον, λόγιά τε καὶ τέρατα ἐπιλέγουσαι, οἷς μὴ πιστεύσας τις καίπερ ἀτοπωτάτοις οὖσιν, ἀσεβὴς ἐν τῷ πάροντι ἐνομίζετο· οὐχ ἥκιστα δὲ περὶ τῆς πονηρίας τῶν ἐπὶ μισθῷ θεραπευουσῶν ἐλάλουν, ὡς τοὺς νοσουντας τοὺς μὲν ἡμιθνῆτας λωποδυτοῦσι, τοὺς δὲ ὑπὸ φίλων μονωθέντας ἐσθῆτος ἕνεκα διαφθείρουσι, πνίγουσαι, εἰ τύχοι, ἢ σῖτον οὐ διδοῦσαι· ἐλέγοντο δὲ καὶ τοῖς ὑγιαίνουσι τὴν νόσον ἐμποιεῖν, τὸ ἀπὸ τῶν ἑλκέων πύον ἐς τὸ σῶμα ὑπεντιθεῖσαι. τοὺς δὲ φύλακας τοὺς ἐπὶ ταῖς θύραις τεταγμένους ἔσω ἔφασαν βιασαμένους τοὺς μὲν ἀνθρώπους κτείνειν τὰς δὲ οἰκίας συλᾶν· τοῦτο δὲ ῥᾴδιον ἦν τῷ βουλομένῳ ποιεῖν, τεθνηκότων γὰρ τῶν ἐπιτηδείων ἢ εἰς τοὺς ἀγροὺς πεφευγότων οὐδεὶς ἦν ὁ τὰ τοιαῦτα ἐξετάσων, ἅτε δὲ ἐν ταραχῇ πάντων ὄντων, χαλεπὴ ἥ τε ζήτησις τῶν κακουργημάτων ἥ τε δικαίωσις ἐφαίνετο· ταῦτ' οὖν καὶ παραπλήσια καθ' ἡμέραν τῶν ἀνθρώπων ἀκουόντων, θαυμαστὸν ὅσον ἐπηυξήθη τὸ παρὸν δέος· ξυνέβη γὰρ ἑκάστῳ τῇ τε γνώμῃ τὰ λυπηρὰ καὶ τῇ ὄψει αἰσθέσθαι· περιπατοῦντι μὲν γὰρ ἐπὶ πολλαῖς θύραις ἡ γραφὴ ἦν φανερὰ τό τε ἐρυθρὸν ξύλον, τὴν νόσον σημαίνοντα, ἔνδον δὲ οὐδενὶ κόσμῳ ξυννενημένοι ἔθνησκον, οἱ μὲν πάντων ἔρημοι, ἐπὶ τῷ ἐδάφει καλινδούμενοι, οἱ δὲ καὶ μετὰ πολλῶν ἄλλων· ὥστε ἐν τῇ αὐτῇ οἰκίᾳ πάντα ἦν ἰδεῖν τε καὶ ἀκοῦσαι νεκροὺς προκειμένους, στενάζοντας τοὺς κάμνοντας ἢ καὶ παραληροῦντας ἀγρίως, ἄλλους παίδων, ἀδελφῶν, πατέρων θάνατον ὀλοφυρομένους, τοῖς

Digitized by Google

δὲ θεοῖς ἐπιβοῶντας καὶ σφᾶς αὐτοὺς ἀναλῶσαι· διά τε τὴν τῶν ἑλκέων ὀδύνην, ἣν μείζω ἔτι οἱ ἰατροὶ τέμνοντές τε καὶ καίοντες ἐποίουν, ὠλόλυζον πολλοὶ καὶ ἐβρυχῶντο· ἄλλοι δὲ εἴτε φρενιτικοὶ ὄντες εἴτε τῇ ταλαιπωρίᾳ αὐτῶν ἀκρατεῖς, τὰς θεραπευούσας ἀπελάσαντες ἐς τὸ ἔξω ἐβιάσαντο, διά τε τῶν ὁδῶν μετὰ κραυγῆς καὶ ἰυγμοῦ ἔθεον, ἐς ὃ ῥώμης προλιπούσης ἐλιποψύχησαν, ἢ καὶ αὐτόθι καταπεσόντες ἀπέθανον· κωλύειν δὲ λαβόμενος οὐδεὶς ἐτόλμα, δείσας μὴ αὐτὸς ἀνάπλεως γένηται. καὶ μὴν τῶν καμνόντων τίνες ἄλλους δῆλοι ἦσαν καὶ τοὺς ὑγιεῖς ὄντας βουλόμενοι νοσοποιῆσαι, καί ἐστιν οἳ καὶ τοὺς αὐτῶν ξυγγενεῖς, ἁπτόμενοί τε ὅσων ἐν ταῖς ἀγυίαις ξυμβάλλοιντο, καὶ καθάπερ οἱ κύνες τῇ λύσσῃ δάκνοντες· ἄλλοι δὲ σφᾶς αὐτοὺς ἀνήλωσαν, ἀπαγχόμενοι καὶ ἐκ τῶν θυρίδων ἑαυτοὺς ῥίπτοντες· ἐς δὲ τὸν ποταμὸν καὶ πάνυ πολλοὶ ἐμπηδήσαντες ἀπεπνίγησαν, οἱ μὲν διὰ τὸ καῦμα, τοῦ ὕδατος ἐπιθυμίᾳ, οἱ δὲ τοῦ πόνου καὶ θανόντες λωφῆσαι βουλόμενοι· μέγα δὲ ἦν τῶν ὑγιαίνειν μὲν δοκούντων τὸ πλῆθος, ἐξαίφνης δὲ θνησκόντων, ἐν ταῖς ξυνόδοις πολλάκις καὶ ἐν τῇ ἀγορᾷ καταπιπτόντων, ὥστε τάς τε ὁδοὺς νεκρῶν πλησθῆναι, ἔνιά τε τῶν ἱερῶν καὶ δημοσίων οἰκοδομημάτων, ἐς ταῦτα γὰρ τοὺς ἄφνω νοσοῦντας καὶ τῶν πενήτων τίνας φέροντες ἐθεράπευον· καὶ δεῖμα οὐχ ἥκιστα τόδε παρεῖχεν, τοὺς γὰρ κάμνοντας ἀδύνατον ὂν τῇ ὄψει διαγιγνώσκειν διὰ τὸ κρυπτὸν τοῦ κακοῦ, ὑπόπτως ἀλλήλοις προσῄεσαν, ὡς μετέχοντά τινα τῆς νόσου· ξυνέβη δέ τισι τοῖς οἰκείοις τὴν νόσον ἐμποιοῦσι λαθεῖν, τά τε τεκμήρια ἐπὶ τῷ στήθει αἰσθόμενοι ἅμα κάμνοντες ἔμαθον, καὶ τὸ αὐτῶν πάθος οὐχ ἧσσον ὠλοφύροντο ἢ ὅτι τοῖς φίλοις αἴτιοί εἰσι τοῦ θανάτου. οὕτω ἐπὶ πᾶν τὸ ξυγγενόμενον διαλέγεσθαί τινι ἄπιστον κατέστη, καὶ πολλοὶ οὔτε ἐς τὴν ἀγορὰν οὔτ' ἔξω ἄλλοσέ ποι

Digitized by Google

φοιτᾶν ἐτόλμων, σιτία δὲ ἱκανὰ παρασκευασάμενοι τὴν οἰκίαν ἐνέφραξαν, καὶ ἔνδον μῆνας πολλοὺς μένοντες τὸ νόσημα διέφυγον.

Τοῦ δὲ λοιμοῦ ἐν τῇ πόλει ἀκμάζοντος, ἐς τοὺς ἀγροὺς πολλοὶ ἀεί που ἔφευγον, οἱ μὲν ἐν φόβῳ ὄντες, οἱ δὲ νοσοῦντες ἤδη, οἱ δὲ διὰ πενίαν· ἐς δὲ τὰς κώμας τὰς περὶ τὴν πόλιν ἐλθόντες ἐνδιαιτᾶσθαι ἤθελον ἐκεῖ, εἰ δὲ μὴ, σιτία γε λαβόντες ἐς τὸ πρόσω ἀπιέναι· οἱ δὲ ἐνοικοῦντες οὔτ' αὐτοὶ ἐδέχοντο, διελθεῖν τε ἀπηγόρευον, ἅπτεσθαι μὲν δεδιότες, ἀπὸ δὲ τῶν οἰκιῶν διώκοντες, τὰ δ' ἐπιτήδεια οὐ παρεχόμενοι· ὥστε πολλαχοῦ τῆς χώρας πονηρῶς ἔχοντες, οἱ μὲν ἤτοι κρύφα γε ἢ φανερῶς ἐς τὰ ἐπέκεινα ἀπεβιάσαντο, οἱ δὲ ἄλλοι ἐν τοῖς ἀγροῖς πλανώμενοι ὑπὸ τῆς νόσου ἔρημοι ἀπέθανον, ἢ καὶ ὑγιεῖς ὄντες λιμῷ ἀθλιώτατα διεφθείροντο. τοῖς τὲ ἐν Λονδινίῳ οὐδὲν τούτου ἀπορώτερον ξυνέβη, τοῦ ἐκ τῆς πόλεως πάθει τοσούτῳ ξυνεχομένης μὴ οἷόν τε εἶναι ἀποφυγεῖν, ἀλλ' ὥσπερ πολιορκουμένους ἀποκινδυνεύειν μένοντας· ὁμῶς μέντοι δοκοῦντες πράσσειν οἱ ἐν τοῖς ἀγροῖς τῇ ἰδίᾳ ὁμῶς σωτηρίᾳ ὑπουργεῖν ἠναγκάσθησαν, ἐπιέζοντο γὰρ ἂν τῷ αὐτῷ πάθει, ἀφ' ἑνὸς γὰρ νοσοῦντος ἀνάπλεω πολλάκις ἤδη γεγένηνται πόλεις ὅλαι.

Τὸ δὲ μεγίστην δὴ κακοπάθειαν πάρεχον ἦν ἡ τῶν οἰκιῶν κλῆσις· τοῦ γὰρ λοιμοῦ εὐθὺς ἀρχομένου ἐκήρυξαν τὰ τέλη ἄνδρας δύο καθ' ἕκαστον μέρος τῆς πόλεως αἱρεθῆναι, οἵτινες ἐς τὰς οἰκίας φοιτῶντες ἐξετάσουσιν εἰ νοσοῦσί τινες, ὅσους δὲ εὕροιεν, τὸ οἴκημα καταφράξαντας, τὴν τὲ θύραν ἐπισημήναντας, φύλακα καταστῆσαι ὥστε μηδένα ἔτι ἐξιέναι, ἐλπὶς γὰρ ἦν ἐκ τούτων τὴν νόσον μὴ πρόσω ἐπινέμεσθαι, οὗ τὸ ἐναντιώτατον περιέστη, αὐξηθέντος μᾶλλον τοῦ κακοῦ· ὅσοις γὰρ οἱ οἰκεῖοι ἔκαμνον, ἐξαγγέλλειν οὐ προυθυμοῦντο, αὐτοὶ ξυγκαθείργεσθαι δεδιότες, ὥστε, εἰ ἠδύναντο, ἐς ἀναβ

Digitized by Google

λὰς τοῦτο πράσσοντες ἄλλοσέ ποι πρὶν κλησθῆναι τὴν οἰκίαν ἀπέφευγον, εἰ δὲ ἔφθασαν ἐπὶ τῇ θύρᾳ ταχθέντες φύλακες, ἀλλ' ἐκείνους τοὺς μὲν μισθῷ ἔπειθον ὥστε ἀφιέναι, τοὺς δὲ, τοίχους κατορύσσοντες ἢ ἄλλῳ τίνι τρόπῳ ἔλαθον· ἐστὶ δὲ οἳ τὸν φύλακα ἀπέκτειναν, ἀδικεῖν οὐ πάνυ δοκοῦντες διὰ τὴν ὑπερβολὴν τῶν κακῶν. καὶ γὰρ τοὺς οἰκείους προδιδόντες ὑπεξεδύοντο, ἐν ἀγῶνι δὲ γνώμης ὄντων βοὴ ἦν καὶ οἰμωγὴ πολλὴ, τῶν μὲν ἐν ὀδύνῃ καταλειπομένων, ἀξιούντων μὴ σφᾶς προλείπειν, τῶν δὲ τοὺς φιλτάτους εἴ ποτε καὶ αὖθις ὄψοιντο, ἐνθυμουμένων· ὅμως δὲ, καίπερ βουλομένων τινῶν ἀποτολμῆσαι, ἐνίκησεν ἐπὶ τὸ πολὺ τὸ ἀπελθόντας σώζεσθαι, χαλεπὸν γὰρ ἐδόκει ὁμοῦ τοῖς κάμνουσι διαιτᾶσθαι· πολλοὶ γοῦν διὰ τοῦτο ἀκέραιοι τὸ πρὶν ὄντες ἐνόσησαν, ἄλλους δὲ τὸ ὑπερδεὲς τῆς ὄψεως ἐς τὴν νόσον ἐνέβαλεν· ὥσπερ γὰρ ἐν δεσμωτηρίῳ κατακεκλημένοι ἐν πνίγει τε καὶ ὀσμαῖς οὐκ ἀνέκτοις διῆγον, πολλὰ μὲν λυπηρὰ ὁρῶντες καὶ ὅσα τὴν ἀνθρωπείαν φύσιν ὑπερβάλλει, νεκροῖς καὶ θνήσκουσι ξυγγιγνόμενοι ὑπό τε τῶν φίλων ἀμελούμενοι, ὥστε πανταχόθεν τὸ πρᾶγμα δυσανασχετοῦντες οἱ πολῖται, ἐπεὶ δὴ ἀνωφελῆ πράσσοντες ἔμαθον οἱ ἐν τέλει, ἥ τε φθορὰ προὐχώρει ἀεὶ, οὔτε τὰς οἰκίας ἔτι ἐφύλασσον, τῆς τε ἄλλης ἐπιμελείας ἀπονενοημένοι ἀπέστησαν· ἐς ὀλιγωρίαν τε τῶν πρὶν νομιμῶν ἐτράποντο, καὶ οὐκ ἥκιστα τῶν περὶ τὰς ταφὰς, ἀναγκαῖα μὲν ποιοῦντες, ἀναίσχυντα δὲ· πλήθους γὰρ τοσούτου ἀπολλυμένου τοὺς νεκροὺς καθ' ἕκαστον θάπτειν οὐκ ἦν, οὐδ' αὖ σόρους ξύλων σπάνει πορίζεσθαι· ἄνθρωποι δὲ ἐπὶ μισθῷ τεταγμένοι τοὺς νεκροὺς παρὰ τῶν ἐπιτηδείων λαβόντες, φορμηδὸν ἐφ' ἁμάξας ξυνένεον, ἔς τὲ τὰ ἱερὰ ἀπάγοντες, ὁποῦ αὐτοῖς ἐν τῷ τεμένει ὀρύγματα ἐσκάφη μέγαλα, πάντας ὁμοῦ γυμνοὺς ἐνέβαλλον, γῆν ἐπιχέοντες· καὶ οὔτε οἱ προσήκοντες ξυνηκολούθουν, οὔτε ἡ ἄλλη πομπὴ καὶ εὐχὴ

Digitized by Google

ἡ νενομισμένη ἐγένετο· ἀπηγορεύθη δὲ μηδένα τὰ ὀρύγματα προσελθεῖν. καὶ τὸ μὲν πρῶτον νυκτὸς ἔθαπτον, τελευτῶντες δὲ, ὑπ' ἀπορίας βιαζόμενοι, ἡμέρας οὐχ ἧσσον, αἵ τε ἅμαξαι διὰ τῶν ὁδῶν ξυνεχῶς ἐπορεύοντο· πολλοὺς μέντοι καὶ ἀθάπτους εἴων, ὡς λόγος ἦν, τὸ πρᾶγμα δυσχεραίνοντες· οἰκιῶν δὲ πασῶν κενωθεισῶν ξυμβαίη ἂν τόδε γενέσθαι, οὐδενὸς γὰρ ἔσω ὑπολειφθέντος ὥστε τοὺς θάπτοντας παρακαλεῖν, ἄταφοι κατεσήποντο, ἐς ὃ τῇ ὀσμῇ κακῶς πάσχοντες οἱ πρόσοικοι ἔγνωσάν τε καὶ ἐς τὴν ἅμαξαν ἐξήνεγκαν· πανταχοῦ τε σιγὴ ἦν καὶ ἐρημία, διακένων ὄντων πολλῶν οἰκημάτων· ἔν τε ταῖς ὁδοῖς ἡ πόα ἐβεβλαστήκει, χρόνον γὰρ συχνὸν οὔτε πεζῇ οἱ ἄνθρωποι ἕκοντες ἐφοίτων, οὔτε ὄχημα ἦν οὐδὲν ἰδεῖν, πλὴν τῶν τοὺς νεκροὺς ἁμαξῶν ἀγουσῶν, οὐδὲ μὴν φωνῆς οὐδεμιᾶς ἀκοῦσαι, εἰ μὴ τῶν τε κωδωνοφορούντων τῶν τε ἐν τῇ νόσῳ ὀλολυζόντων· ληγουσῶν δὲ τῶν ἐργασιῶν, ἐμπορίας τε πλὴν τῆς ἀναγκαιοτάτης οὐκ ἔτι οὔσης, τὰ ἔσχατα ἐκινδύνευσαν οἱ περὶ ταῦτα πραγματευόμενοι ὑπὸ λιμοῦ παθεῖν, τὴν τροφὴν οὐκ ἔχοντες ὅθεν ποριοῦνται· αἴτιον δ' ἦν τοῦ μὴ γενέσθαι τοῦτο ἡ τῶν πλουσίων πολυδωρία, τῆς γὰρ οὐσίας ἠφείδουν, σιτία τε καὶ ἐσθῆτα παρέχοντες, καὶ ὅσων ἄλλων ἐν τῷ τοιούτῳ δεῖ, ὥστε τοῖς πᾶσιν ἐς τὸν βίον εὐπορεῖν τὴν πόλιν.

Τελευτῶν δὲ τὸ κακὸν, μεῖζον ἢ κατ' ἀνθρώπους γενόμενον, ἐς τοῦτο ἀφῖκτο ὥστε πάντας δοκεῖν διαφθερεῖσθαι, ὅσων γὰρ ἅπτοιτο ἡ νόσος, ὀλίγου δέοντας εὐθὺς διέφθειρεν· οἱ δὲ Λονδινιαῖοι ἤδη, τοσοῦτον ἰδόντες πανταχοῦ πλῆθος ἀπολλύμενον, τοῖς τε φαρμάκοις καὶ ὅσα ἄλλα ἐπέφερον μηδὲν ἂν ἔτι περᾶναι ἀπιστοῦντες, τοῖς μὲν πλείστοις τὸ ῥᾴθυμον καὶ ἀνέλπιστον ἐπεισῆλθεν, οὐ βουλομένων οὐδ' ἐν ἐλαχίστοις τοῦ σώματος ἐπιμελεῖσθαι, ἐν δὲ τῷ ὁμοίῳ τὸ μεῖζόν τε καὶ ἔλασσον

Digitized by Google

φυλάσσεσθαι κρινόντων ὡς πᾶσιν ἤδη θανάτου ἐπικρεμασθέντος· καὶ ἐν τοῖς οἱ πένητες μάλιστα ἀπερισκέπτως ἐτόλμων, τὸ γὰρ κἂν ἔτι ἐπιβιῶναι παρ' οὐδὲν ἡγούμενοι, πάντων παρὰ τὸ κερδαίνειν τι ἀπερίοπτοι ἦσαν· οὕτω τῶν αἰσχίστων προθύμως ἀντελάβοντο, ὡς τοῦ πάροντος χεῖρον οὐκ ἂν πράξαντες· ἐπὶ πολὺ γὰρ τὸ αὐτῶν προσκοπεῖν οὐκ ἐβούλοντο, ἄλλως τε καὶ φιλων τοσῶνδε καὶ ξυγγενῶν ἀποστερηθέντες, τὰ δὲ γιγνόμενα κατὰ τὸ πεπρωμένον ξυμβῆναι νομίζοντες, τὸ τῶν Ἀσιάνων, σφᾶς αὐτοὺς προίεντο.

Ξυνελών τε φαίη ἄν τις οὐχ ἥκιστα τόδε θαυμάσαι ἄξιον ὡς μεγίστη δὴ παρὰ τὸ εἰωθὸς ἐφισταμένη ἄλλοις ἄλλως ἡ μεταβολὴ ἥδε ὡμίλησεν· πολλοὶ μὲν γὰρ ξυνταραχθέντος τοῦ βεβαίου τῆς γνώμης, οὐκ ἔτι τοῦ ἤθους αὐτοκράτορες ἐφαίνοντο, ἀπὸ δὲ τοῦ πάντας καὶ χρηστοὺς καὶ κακοὺς ὁμοίως ἰδεῖν ἀπολλυμένους, τῶν ἀνθρωπείων τοὺς θεοὺς ἐπιμελεῖσθαι οὐκ ἡγοῦντο, τό τε μετὰ κακίας καὶ ἀρετῆς ζῆν οὐ διαγιγνώσκοντες, ῥᾳδίως ἑαυτοὺς πάσῃ κακοτροπίᾳ παρεδίδοσαν· οἱ δὲ πονηροὶ τῇ κοινῇ ξυμφορᾷ καὶ ἠγάλλοντο, ἄδειάν τε ἐν τῷ αὐτίκα τῶν ἀδικημάτων ἐνορῶντες, τὰ ἔσχατα ἐτόλμων, τοὺς μὲν κάμνοντας χρημάτων ἕνεκα φονεύοντες, εἰ δέ τις ὑγιὴς ἔτι ἦν, τὴν νόσον ἐμποιοῦντες· τῶν δὲ νομιμῶν πάντων καὶ πίστεως τῆς πρὸς ἀλλήλους ξυγχυθέντων, ἀσμένως αἱ ἀγριώτεραι φύσεις τῆς τε κοινῆς ἀνθρώπων δόξης ἀπηλλάγησαν, τοῦ τε ὁσίου καὶ φιλανθρώπου κρατήσασαι ἐδήλωσαν, ἑκάστου πάντων παρὰ τὸ αὐτὸν σώζεσθαι παραμελοῦντος· καὶ γὰρ τοὺς φιλτάτους προίεντο, παῖδας μὲν πατέρες, ἄνδρας δὲ γυναῖκες, αἰσχύνην ἐν τῷ πάροντι τοῦ ἔργου οὐ φέροντος. εἰ δέ που σωτηρίας ἔλπις ὑποφαίνοιτο, τὰ ἀπρεπέστατα οὐκ ἀπώκνουν. ἄλλοι δὲ μόνην κούφισιν ἐνιδόντες ἐν τῷ ἐκποδὼν τῇ διανοίᾳ τοῦ κοινοῦ ὀλέθρου στῆναι,

Digitized by Google

ἔν τε τῇ αὔριον ἀποθανεῖσθαι προσδοκῶντες, τῆς μὲν ἀρετῆς ὡς ἀφανισθείσης κατεγέλων, ταῖς δὲ τοῦ σώματος ἡδοναῖς σφᾶς αὐτοὺς ἐπιτρέψαντες, μεθύοντες διῆγον, παραμυθίῳ τοῦ ὀῤῥωδεῖν τῇ τῶν κακῶν ἰσομοιρίᾳ χρησάμενοι, ἐν τε τῷ μέταξυ βραχύ τι ἀπολαυσάντες τοῦ ἐπικειμένου καὶ ὅσον οὐ πάροντος θανάτου ἀπαλλαξείοντες.

Τοῖς δὲ ἄλλοις τὰ ἐνάντια τούτων περιέστη, τὸν γὰρ λοιμὸν ἐπὶ σφῶν κολάσει ἀπὸ τοῦ θείου γενέσθαι κρίνοντες, τοὺς Λονδινιαίους τῶν ἁμαρτημάτων τιμωρουμένου, ἐνθύμιόν τε ἐποιοῦντο καὶ αὐτοὺς ἐν αἰτίᾳ μεγίστῃ καὶ καταμέμψει εἶχον, ὥστε ἐς ἱκέτειαν καθίσταντο καὶ τοῦ θεοῦ ἀντιβολίαν, τὴν πόλιν ἐπισκήπτοντες μὴ πρόῤῥιζον καθελεῖν· ἐνήστευόν τε οἱ ξύμπαντες ἐν ἡμέραις ῥηταῖς, καὶ φανεροὶ ἦσαν ἐν τοῖς ἱεροῖς προσευχόμενοι· οἱ δὲ φαυλότεροι τὴν γνώμην, ὅπερ φιλεῖ ὅμιλος ποιεῖν, ἐς τὸ ἄγαν πιθανὸν προελθόντες οὐκ ἐσθ' ὅτῳ οὐκ ἐπίστευσαν, τέρατα δὴ καὶ σημεῖα ἐν οὐρανῷ ὁρᾷν δοκοῦντες· ἔνιοι δὲ, ὡς ἐνθουσιάζοντες, διὰ τὸ ἄστυ ἔθεον, τοῖς πολίταις τὰς ἁμαρτίας ἐπικαλοῦντες, μείζω τε ἔτι κακὰ μὴ μεταμελομένοις προαγορεύοντες. οἴκτῳ δὲ οἱ σώφρονες ἐπεῤῥῶντο μᾶλλον τοὺς ταλαιπωρουμένους ὠφελεῖν· ἐπ' ἀμφότερα γὰρ δὴ τῶν μεγίστων διαφορῶν αἴτιον ἐφάνη αὕτη ἡ μεταβολὴ, πονηροτέρων γὰρ δι' αὐτὴν πολλῶν γενομένων, τῶν ἐπιεικῶν τινες καὶ παρὰ τὸ εἰωθὸς ἐπιφανῶς πάσης εὐεργεσίας ἥπτοντο, οὔτε σωμάτων φειδόμενοι οὔτε χρημάτων, ἀλλὰ παρὰ τοὺς νοσοῦντας τολμηρῶς ἐσῄεσαν, καὶ μάλιστα αἱ γυναῖκες, θεραπεύουσαί τε καὶ μετ' ἐπιθειασμοῦ παραμυθούμεναι.

Τὸν δὲ ἀριθμὸν τῶν θανόντων, τὸ μὲν ἀκριβὲς χαλεπὸν ἦν ἐξευρεῖν, οἱ μὲν γὰρ ἀπὸ τῶν γραμμάτεων κατάλογοι ἐπ' ἔλασσον τοὺς ἀπολλυμένους ἀεί ποτε ἀπέφαινον, ἡ δὲ τῶν ἀνθρώπων

Digitized by Google

ὑπόνοια ἐπὶ πλέον, ὅμως δὲ τὰ σαφέστατα σκοποῦντί μοι δοκοῦσιν ἀνθρώπων μυριάδες δέκα ἀποθανεῖν, πέμπτον ὂν, ὡς εἰκάσαι, τῶν πολιτῶν μέρος· ἔτος δὲ μάλιστα ἓν ἐν Λονδινίῳ ἔμενεν, ἐς δὲ καὶ ἄλλας πόλεις ἐνέσκηψε, καὶ οὐκ ἥκιστα τὰς ἐπιθαλασσίας· ταῦτα τὰ κατὰ τὸν λοιμὸν γενόμενα.

26 JY60

Digitized by Google